Γράψαθ' ἑνὸς καθύπερθε λίθου φίλα λείψανα φω-
Βηρυτὸς γοερὴ κεῖται ὑπὲρ δαπέδων. (τῶν,

Τοῦ αὐτοῦ εἰς τὸ αὐτό.

Ναυτίλε, μὴ στήσῃς δρόμον ὁλκάδος εἵνεκ' ἐμεῖο,
Λαίφεα μὴ λύσῃς· χέρσον ὁρᾷς λιμένα.
Τύμβος ὅλη γενόμην, ἕτερον δ' ἐς ἀπενθέα χῶρον
Δουπήσει κώπη, νηὸς ἀπερχομένης.
Τοῦτο Ποσειδαίωνι φίλον ξενίοις τε θεοῖσι.
Χαίρεθ' ἁλιπλανέες, χαίρεθ' ὁδοιπλανέες.

ΑΝΤΩΝΙΟΥ ἀργείου.

Η πρὶν ἐγὼ χερσῆος ἀκρόπολις αἰθερίοιο,
Η πικρὸν ἰλιάδαις ἀστέρα θρεψαμένη;
Αἰπολίοισιν ἔναυλον ἐρημαίοισιν ἀνέμοις,
Τίσασα πριάμου δαίμοσιν ὀψὲ δίκας.

---

ΕΙΣ ΠΟΝΗΡΟΥΣ, κεφ. οα.

Αδηλον.

Φασὶ παροιμιακῶς, κἂν μῦς δάκοι ἄνδρα πονηρόν·
Αλλὰ τόδ' οὐχ' οὕτω φημὶ προσῆκε λέγειν,
Αλλὰ, δάκοι κἂν μῦς ἀγαθοὺς καὶ ἀπράγμονας ἄν-
Τὸν δὲ κακὸν δεδιὼς δήξεται οὐδὲ δράκων. (δρας·

ΠΑΛΛΑΔΑ.

Εἰ τοὺς ἀνδροφόνους εὐδαίμονας ὄντας ὁρῶμεν,
Οὐ πάνυ θαυμάζω· τοῦ διός ἐστι γέρας.
Τὸν γὰρ γεννήσαντα μεμισηκὼς καὶ ἐκεῖνος
Κτεῖνεν ἂν εἰ ὁ κρόνος θνητὸς ἐτύγχανεν ὤν.

Αντι